4 γὰρ φόβος Μαρδοχαίου ἐνέκειτο αὐτοῖς. [4]προσέπεσεν γὰρ τὸ πρόσ-
6 ταγμα τοῦ βασιλέως ὀνομασθῆναι ἐν πάσῃ τῇ βασιλείᾳ. [6]καὶ ἐν
7 Σούσοις τῇ πόλει ἀπέκτειναν οἱ Ιουδαῖοι ἄνδρας πεντακοσίους [7]τόν
8 τε Φαρσαννεσταιν καὶ Δελφων καὶ Φασγα [8]καὶ Φαρδαθα καὶ
9 Βαρεα καὶ Σαρβαχα [9]καὶ Μαρμασιμα καὶ Αρουφαιον καὶ Αρσαιον
10 καὶ Ζαβουθαιθαν, [10]τοὺς δέκα υἱοὺς Αμαν Αμαδαθου Βουγαίου τοῦ
11 ἐχθροῦ τῶν Ιουδαίων, καὶ διήρπασαν. — [11]ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐπ-
12 εδόθη ὁ ἀριθμὸς τῷ βασιλεῖ τῶν ἀπολωλότων ἐν Σούσοις. [12]εἶπεν
δὲ ὁ βασιλεὺς πρὸς Εσθηρ Ἀπώλεσαν οἱ Ιουδαῖοι ἐν Σούσοις τῇ
πόλει ἄνδρας πεντακοσίους· ἐν δὲ τῇ περιχώρῳ πῶς οἴει ἐχρή-
13 σαντο; τί οὖν ἀξιοῖς ἔτι καὶ ἔσται σοι; [13]καὶ εἶπεν Εσθηρ τῷ βα-
σιλεῖ Δοθήτω τοῖς Ιουδαίοις χρῆσθαι ὡσαύτως τὴν αὔριον ὥστε
14 τοὺς δέκα υἱοὺς κρεμάσαι Αμαν. [14]καὶ ἐπέτρεψεν οὕτως γενέσθαι
καὶ ἐξέθηκε τοῖς Ιουδαίοις τῆς πόλεως τὰ σώματα τῶν υἱῶν Αμαν
15 κρεμάσαι. [15]καὶ συνήχθησαν οἱ Ιουδαῖοι ἐν Σούσοις τῇ τεσσαρεσ-
καιδεκάτῃ τοῦ Αδαρ καὶ ἀπέκτειναν ἄνδρας τριακοσίους καὶ οὐδὲν
16 διήρπασαν. — [16]οἱ δὲ λοιποὶ τῶν Ιουδαίων οἱ ἐν τῇ βασιλείᾳ συνή-
χθησαν καὶ ἑαυτοῖς ἐβοήθουν καὶ ἀνεπαύσαντο ἀπὸ τῶν πολεμίων·

4 init.] pr. εμεγαλυνετο γαρ (+ ο 93) μαρδοχαιος πορευομενος $O$† | προσεπεσεν] επεπεσεν $S^c$† | fin.] + και εμεγαλυνετο (5) και επαταξαν οι ιουδαιοι πληγην εν πασι τοις εχθροις αυτων πληγην μαχαιρας και αναιρεσεως (+ αυτων 93) και απωλειας και εποιησαν εν τοις μισουσιν αυτους κατα το θελημα αυτων 58 93† ‖ 6 σουσοις] αυτη B† | τη πολ. απεκτ. > S† | ιουδαιοι] + και απωλεσαν $O$† ‖ 7 φαρσαννεσταιν $S^c$] ι > $S^*$†, -σανεσταν A†, φαρσαν και νεσταιν B†; φαρσενδαθα 93†: sim. 58† | δελφων] pr. τον $O$†: etiam ante octo sequentia nomina propria (uno excepto in 93) add. 58 93† τον | φασγα B$S^c$] φαγα A†, φιαγα $S^*$†, ασιφαθα uel sim. 58 93† ‖ 8 φαρδαθα] φαραδ. B†, φαρααθα S†, βαρδ. A† | βαρεα] βαρσα B†, βαρελ A†, αδαλια 58(μ pro λι) 93† | σαρβαχα] αριδαθα 58(om. δ) 93† ‖ 9 μαρμασιμα B†] -σιμ S, -σιμνα A†, φαρμοσθα 93† | αρουφαιον] ρουφ. BS†, ρουφανον A†, αρι(uel η)σαι 58 93† | αρσαιον] αρι(uel η)δαι 58 93† | ζαβουθαιθαν V] -ουθαιον B, -ουδεθαν S†, -ουγαθα A†; ουα(ι)ζαθα 58 93† ‖ 10 αμαδαθου: cf. 1 1r | βουγαιου] pr. του A 93† (58 deest) | ιουδαιων] + απεκτειναν A$O$† ‖ 11 επεδοθη A$O$†] + τε BS, + δε pl. | ο > A† | fin.] + τη πολει $S^c$†, + τη πολει τω βασιλει 58 93† ‖ 12 προς εσθηρ] εσθηρ A†, εσθηρ τη βασιλισση $O^{-58}$†, + την βασιλισσαν 58† | απωλεσαν οι ιουδαιοι — ανδρας πεντακοσιους] εν σουσοις τη πολει εφονευσαν οι ιουδαιοι και απωλεσαν πεντακοσιους ανδρας και τους δεκα υιους αμαν 58 93†; in textu uulgari add. $S^c$† και εφονευσαν post ιουδαιοι et και τους δεκα υιους αμαν post πεντακοσιους | περιχωρω] χωρα A† | εχρησαντο] κεχρηνται A$O$† | τι ουν] και τι A 93† (ante και τι add. 93† και τι το αιτημα σου και δοθησεται σοι) ‖ 13 χρησασθαι $O$ | την] τη $O^{-58}$ | δεκα > A† | κρεμασαι αμαν] tr. mu.; αμαν κρεμασθηναι A$O$† ($S^c$ κρεμασθηναι αμαν), ad quae $C$ addit επι ξυλου ‖ 14 και $1^0 \frown 2^0$ A† ‖ 15 τεσσαρεσκαιδ.] τρισκαιδ. $O^{-93}$†: cf. 1 | αδαρ] μηνος S†, μηνος αδαρ 58 93†, αδαρ μηνος $S^c$† | απεκτειναν] + οι ιουδαιοι εν σουσοις $O^{-93}$†, + οι εν σουσοις ιουδαιοι 93† ‖ 16 συνηχθησαν και] συναχθεντες A 58 93† (συν > 93) | εαυτοις εβοηθουν (tr. 58 93†)] + περι της ψυχης αυτων $O$†